Ἐπὶ Δηϊπύλου.

Δηϊπύλου κόρσης ἀειδέος ὀρμενίοιο
μνῆμα τόδ᾽ εὐκλεινόν. γείνατο Τληπό-
λεμος.

Ἐπὶ Νιρέως, κειμένου ἐν τροίᾳ.

Ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων ἔχε γαῖα,
Νιρέα, τὸν χαρόπου παῖδα καὶ ἀγλαΐης.

Ἐπὶ Φειδίππου καὶ Ἀντίφου.

Φείδιππον τροίην περσάντ᾽ ἠδ᾽ Ἄντιφον
ἥρω
γαῖα πατρὶς κώμη ἠδ᾽ ἐφύρα κατέχει.

Ἐπὶ Ἀχιλλέως, κειμένου ἐν τροίῃ.

Παῖδα θεᾶς θέτιδος, πηληϊάδην Ἀχιλῆα,
ἠδ᾽ ἱερὰ προποντὶς ἀμφὶς ἔχει πεδίῳ.

Ἕτερον.

Θεσσαλὸς ἐστὶν ἀνὴρ Ἀχιλεὺς ἐν τῷδε τέθα-
πται
τύμβῳ. ἐθρηνήσαν δ᾽ ἐννέα πιερίδες.

Ἐπὶ Πατρόκλου, κειμένου μετὰ Ἀχιλ-
λέως.

Πατρόκλου τάφος ἐστὶν. ὁμοῦ δ᾽ Ἀχιλῆϊ τέ-
θαπται,
Ὃν κτάνεν ὠκὺς ἄρης ἕκτορος ἐν παλά-
μαις.

Ἐπὶ Ποδάρκους, κειμένου ἐν σικυῶνι.

Γῆ μὲν Ἀχαιῒς ἔθρεψε Ποδάρκην Ἀκτορί-
δην,
Ὀστέα δ᾽ αὖ σικυὼν γῆ κατέχει φθι-
μένου.

Ἐπὶ φιλοκτήτου.

Τόξων ἡρακλέοις ταμίην ποιάντιον υἱὸν
ἥδε φιλοκτήτην γῆ μινυὰς κατέχει.

Ἐπὶ Εὐμήλου.

Υἱὸς ὅδ᾽ Ἀδμήτοιο φερητιάδης Εὔμηλος,
νέρθ᾽ ὑπ᾽ ἐμοὶ κεῖται μοῖραν ἔχων θα-
νάτου.

Ἐπὶ κενοταφίου Ποδαλειρίου καὶ Μαχάονος,
ἐν τρίκκῃ.

Οἵδ᾽ Ἀσκληπιάδαι Ποδαλείριος ἠδὲ Μα-
χάων,
πρόσθε μὲν θνητοί, νῦν δὲ θεῶν μέτο-
χοι.

Ἐπὶ Εὐρυπύλου, κειμένου ἐν ὀρχομενῷ.

Πάτρῃ ἐν ὀρχομενῷ Εὐαίμονος ἀγλαὸν υἱὸν
Εὐρύπυλον κρύπτει δακρυόεσσα κόνις.

Ἐπὶ Πολυποίτου καὶ Λεοντέως.

Ἄρχοντες λαπιθῶν Πολυποίτης ἠδὲ Λεον-
τεὺς
ἐν γαίῃ Μήδων τέρμ᾽ ἀφίκοντο βίου.

Ἐπὶ γουνέως.

Σῆμα τὸ μὲν γουνῆος ὁρᾷς· ψυχὴ δὲ θα-
νόντος
ἀέρ᾽ ἐς ὑγρὸν ἔβη. σῶμα δὲ πόντος ἔ-
χει.

25 Deipyli.

*Deipyli pulchrum caput hac tellure repo-*
*stum est*
*Ormenij, pater huic Tlepolemus fuerat.*

26 Nirei, ad Troiam.

*Heic forma cunctis præstantē Nirea tellus*
*Occuluit, Charopi filium & Aglaiæ.*

27 Phidippi & Antiphi Ephyræ.

*Antiphū & euersa Phidippū diuite Troia*
*Hic Ephyræ vicus patria terra tegit.*

28 Achillis, ad Troiam.

*Quem Peleus genuit diua ex Nereide A-*
*chillem,*
*Hæc seorsum in campo sacra Propon-*
*tis habet.*

29 Aliud.

*Thessalus hic tumulo est isto contectus A-*
*chilles:*
*At luxere nouem, credite, Pierides.*

30 Patrocli, ibidem.

*Patroclum heic eadem, quæ Pelidem, vrna*
*recondit,*
*Robore quem domuit Mars citus He-*
*ctoreo.*

31 Podarcis, Sicyone.

*Actoridē tellus eduxit Achiua podarcē:*
*Compositi Sicyon puluerea ossa tegit.*

32 Eumeli.

*Subter me recubat, letali sorte potitus,*
*Admeti Eumelus, gente Pheretiades.*

33 Philoctetis Minyæ.

*Arcus Herculei custos, Pœantia proles,*
*Hoc tegitur Minyæ post sua fata solo.*

34 Podalirij & Machaonis in cenota-
phio, Triccæ.

*Ecce Asclepiadæ, Podalirius atque Ma-*
*chaon,*
*Olim homines, at nunc numina sancta*
*deûm.*

35 Euripyli, Orchomeni.

*Orchomeni patriæ prognatum Euæmone*
*clarum*
*Eurypylum tellus hæc lacrymosa tegit.*

36 Polypœtis & Leontei.

*Ductores Lapithûm, Polypœtes, atque*
*Leonteus,*
*Medorum in terra lucem obiere suam.*

37 Gunei in cenotaphio in Perrhœbia.

*Hoc habuit Guneus monumentum. nam-*
*que anima vdum*
*Aera cōscendit, sed mare corpus habe*